www.tezaurliturgic.ro

## ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ

# ΕΓΚΩΜΙΟΝ
εἰς τὸν ἅγιον ἱερομάρτυρα
# ΛΕΩΝΙΔΑΝ
καὶ τὴν συνοδίαν αὐτοῦ *

1. Εἶτα πάλαι μὲν Ἀθήνησιν ἔκειτο νόμος δημοσίας ἀξιοῦσθαι ταφῆς τοὺς ἐν πολέμοις ἄριστα πίπτοντας καὶ τοῖς τε ἄλλοις, ἀλλὰ δὴ καὶ λόγοις ἐπιταφίοις κοσμεῖσθαι· ἀμφότερον γέρας τε ἀρετῆς τοῖς καλῶς ἀπιοῦσι καὶ τοῖς περιοῦσιν ἐπ᾽ ἀρετὴν παράκλησις. Ἡμεῖς δὲ τοσοῦτον ἀμελήσομεν ἀρετῆς καὶ περὶ τὸν ζῆλον τοῦ καλοῦ νυστάξομεν, ὡς καὶ τοὺς ἐνταῦθα κειμένους καλλινίκους μάρτυρας ἀγεράστους τὸ ἐφ᾽ ἡμῖν περιορᾶν καὶ μὴ τῶν ὁσίων καθηκόντων ἀξιοῦν; 2. Καὶ ποίαν οὐκ ἂν ὑπείχομεν δίκην, οὕτως ἐπὶ τῷ ζήλῳ τῆς ἀρετῆς λειπόμενοι τῶν Ἑλλήνων, εἴ περ ἐκεῖνοι μὲν ἀνδράριά τινα φιλοκίνδυνα μονονοὺ θεοποιοιοῦντες ἐθείαζον ἀνδριάσι καὶ πολυτελέσιν ἡρῴοις καὶ πανηγύρεσιν ἐπετείοις κοσμοῦντες, οἷς ὑπὲρ Πατρίδος μαχόμενοι καλῶς τὸν βίον κατέλυσαν· ἡμεῖς δὲ τοιῶνδε μαρτύρων τῆς ἀληθείας καὶ τοσούτων οὕτω δεῦρο κειμένων, ἀνεπιστρόφως ἔχομεν, οἵ οὐ πρὸς αἷμα καὶ σάρκα τοὺς ἀγῶνας ἐνεστήσαντο, οὐδ᾽ ὑπὲρ Πατρίδος μιᾶς τῶν κάτω καὶ πατουμένων διεπολέμησαν, ἀλλὰ πρὸς πολεμίους μὲν τὰς ἀσάρκους τοῦ σκότους ἀρχὰς ἀντετάξαντο, αὐτοὶ σαρκία θνητὰ περικείμενοι, ὑπὲρ δὲ Πατρίδος πεπτώκασι, τῆς ἐχούσης τοὺς θεμελίους ἐκείνης πόλεως, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός; 3. Ὧν ψυχαὶ μὲν ἐν χειρὶ Θεοῦ· οὐ γὰρ ἥψατο αὐτῶν, ὥς φησι Σολομών, θάνατος· *κόνις δὲ πολυτίμητος τεθησαύρισται παρ᾽ ἡμῖν δεῦρο*, οὐχ ὡς γεώδης καὶ παρὰ τοῦτο κάτω ῥέουσα· κοινωνὸς γὰρ καὶ αὕτη τῆς δόξης ὥσπερ καὶ τῶν ἀγώνων τοῖς μακαρίοις καὶ μαρτυρικοῖς πνεύμασιν, ὡς ἀποξυσαμένη τοῖς ὑπὲρ Χριστοῦ στίγμασι τὴν θνητότητα καὶ τῆς μελλούσης ἀθανασίας γευσαμένη καὶ κρείττονος μετέχουσα λήξεως· ἀλλ᾽ ἵν᾽ ἔχωμεν ὁμοῦ μὲν ἀγώνων μαρτυρικῶν ὑπομνήματα, ὁμοῦ δ᾽ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, ὁ δ᾽ ἐνθρονίζεσθαι ταῖς νεφέλαις κομπάσας ὑποχαλᾷ τὴν ὀφρῦν, μᾶλλον δ᾽ ἐκτοπιζόμενος τῆς οἰκουμένης δραπετεύῃ μὴ φέρων κόνιν βλέπειν

* *Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου,* Τὰ σωζόμενα (ἔκδ. Σπ. Λάμπρου), τόμος Α´ (Ἀθῆναι 1879), σελ. 150-156. Λεωνίδην ὀνομάζει τὸν ἅγιον ὁ Μιχ. Ἀκομινάτος, ἀλλ᾽ ὅτι πρόκειται περὶ τοῦ Ἐπισκόπου Ἀθηνῶν Λεωνίδα ἢ Λεωνίδου καὶ οὐχὶ περὶ ἄλλου προσώπου (Λεωνίδη ἢ Λεωνίδους) καθίσταται δῆλον ἐκ τοῦ περιεχομένου τοῦ λόγου. Ἐντεῦθεν ἐπεβάλλετο ἡ διόρθωσις τοῦ ὀνόματος πρὸς ἀποφυγὴν συγχύσεως. Ὁ λόγος οὗτος περιέχεται ἐν μόνῳ τῷ Λαυρεντιακῷ κώδικι φ. 38α-39β.

www.tezaurliturgic.ro



σωμάτων, ὑφ᾿ ὧν καταβέβληται καὶ συντέτριπται καὶ ὡσεὶ χνοῦς ἀπὸ προσώπου τῆς γῆς ἐκπεφύσηται. 4. Οὐ διὰ ταῦτα μόνον *τὰ λειπόμενα τῶν μαρτύρων παρ᾿ ἡμῖν ἀπόκεινται τῶν μακαρίων ψυχῶν διιστάμενα*, ἀλλὰ καὶ διὰ τὸ βούλεσθαι τοὺς μάρτυρας κοινῇ μεθ᾿ ἡμῶν τελείας ἀπολαῦσαι τῆς ἀφθαρσίας καὶ τῆς θεώσεως καὶ παρὰ τοῦτο *μένειν ἐνταῦθα*, τοῖς λειπομένοις καὶ τοῖς κρείττοσιν ἐντεῦθεν μεταβεβήκασιν. 5. Ὦ τῆς ἐκείνων μὲν φιλαδελφίας, ἡμῶν δὲ μαλακίας, εἰ *ἐκεῖνοι μὲν φιλοῦντες ἡμᾶς ἀνέχονται μένειν ἐν γῇ τοῖς αὐτῶν σώμασι* καὶ οὐ μικροψυχοῦσι περὶ τὴν ἀνάστασιν διαμέλλουσαν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν, ἡμεῖς δὲ *μικρὸν πρὸ τῆς πόλεως δεῦρο βαδίζειν ὀκνοῦμεν καὶ τῷ ἱερῷ τούτῳ πολυανδρίῳ* προστρέχειν καὶ τὸν ἐντεῦθεν φωτισμὸν ἀρύεσθαι.

6. Ἀλλ᾿ εἰ μέχρι καὶ ἐς δεῦρο οὕτω περὶ τοὺς μάρτυρας ἀμελῶς· ὀκνῶ γὰρ εἰπεῖν ἀστόργως· διακείμεθα, τοῦ γοῦν λοιποῦ προσερχώμεθα πρὸς αὐτοὺς καὶ φωτιζώμεθα. Ὁ φιλῶν μάρτυρας κοινωνὸς γίνεται τῆς δόξης τοῖς μάρτυσιν, οἰκειοῦται γὰρ τῷ Θεῷ τῶν μαρτύρων· ὁ φιλομάρτυς γὰρ καὶ φιλόχριστος, ὁ δὲ φιλόχριστος καὶ τὴν ψυχὴν ὑπὲρ τοῦ φιλουμένου θείη ἄν, καὶ οὕτως ἐκ τῆς περὶ τοὺς ἀθλητὰς φιλίας εἰς τὴν μείζονα καὶ θείαν προώδευσε. Τίς γὰρ οὕτω νωθὴς καὶ βαρὺς τὴν καρδίαν, ὅς ὀστέου μαρτυρικοῦ ἢ κόνεως ἁγίας ἁψάμενος, οὐ παραχρῆμα τὴν ψυχὴν ἐνελάμφθη καὶ ἤρθη πρὸς θείους ἔρωτας; Θήκη μαρτύρων θησαυρὸς ἀναστάσεως, ἀθανασίας ταμιεῖον, ἀφθαρσίας ὑπόμνημα, μαρτυρικῆς καρτερίας στήλη, φιλοθεΐας τρόπαιον. Εἰ δὲ καὶ *πολυάνδριον ὁ τύμβος ἐστὶ καὶ γενῶν ἀμφοτέρων τέφρας αὐχεῖ*, τοῦτο ἄφθονος ἤδη καὶ παντοδαπὸς τοῦ πνεύματος θησαυρὸς ὁποῖος *καὶ ὁ παρ᾿ ἡμῖν πλοῦτος οὗτός ἐστιν.*

7. Ἀλλὰ *τίνες οἱ κείμενοι οὗτοι;* ἀγνοεῖν γάρ μοι δοκεῖτε εἰ καὶ μὴ πάντες, τὸν ἀπόθετον ὄλβον ἡμῶν. *Λεωνίδας ὁ μέγας*, ὁ ἀμφὶ Λεωνίδαν *τῶν γενναίων γυναικῶν χορός*. Ἠρρενῶντο καὶ γυναῖκες εἰς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας, ἐξ οὗ δῆτα Χριστὸς ἐκ Παρθένου γεγέννηται. Πόθεν δὲ καὶ ὅπως εἰς τὸ τοῦ μαρτυρίου ὕψος ἀνέδραμον; *Ἑλλάδος μὲν γεννήματα καὶ θρέμματα* οἱ μακάριοι, Χριστὸν δὲ τὸν ἕνα καὶ μόνον ἐγνωκότες Θεὸν τῆς πολυαρχίας τὴν ἐνεγκαμένην ἀπήλλαξαν, οὐ τήν δε ἢ τήν δε τὴν τυραννίδα παραλύσαντες, αὐτὴν δὲ τὴν πολυθεΐαν ἀνατρέψαντες. Ἁλόντες γὰρ ὑπὸ τῶν ἀσεβῶν καὶ μὴ πεισθέντες τὸν ὄντως Θεὸν ἐξομόσασθαι, εἷλον οὗτοι μᾶλλον ἐκείνους καὶ αὐτοῖς εἰδώλοις καὶ αὐτοῖς θεοῖς κατεστρέψαντο οὐχ οἷς ἕδρων τι ἀράμενοι ὅπλα ἢ μάχην συρρήξαντες[1], ἔφερον. 8. *Ὁ μὲν γὰρ καρτερώτατος Λεωνίδας ἀναρτᾶται καὶ τῷ δεσποτικῷ πάθει συνυψούμενος αἴρεται καὶ οἷς ὠμότατα ξέεται τῷ Χριστῷ* συναρμόττεται καὶ παρὰ τοσοῦτον

---

1. ἀλλ᾿ οἷς ἔπασχον γενναίως καὶ τῆς εὐσεβείας δίκας ὑπέχοντες

www.tezaurliturgic.ro



ὡς τίμιον μέλος τῇ ἁπάντων κεφαλῇ συμφύεται παρ᾽ ὅσον τὰς σάρκας διασπᾶται ξεόμενος. «*Ξέετε γάρ*, φησιν ὁ δικάζων, τὸν ἀνένδοτον τοῦτον», καὶ «*τῶν σαρκῶν ἅπτεσθε τούτου* ἐπεὶ τῆς γνώμης οὐ καθικνούμεθα, *μηδ᾽ αὐτῶν τῶν ὀστέων φείδεσθε. Ῥυείτωσαν σάρκες, λυέσθωσαν καὶ ὀστᾶ καὶ γυμνούσθω* τοῦ φυσικοῦ χιτῶνος ἡ ἀκαμπὴς ψυχή». Διεκελεύετο ταῦτα καὶ τὸ κέλευσμα ἦν ἐνεργὲς καὶ ὁ ἀθλητὴς πάσχων πάσχειν οὐκ ᾤετο· μᾶλλον δ᾽ ὅτι μὴ πλείω καὶ δεινότερα ἔπασχεν ἐδυσχέραινεν. 9. Ὢ γενναίου φρονήματος, ὢ ψυχῆς ἀνικήτου. *Ἐσπαράσσοντο σάρκες τοῦ μάρτυρος καὶ φλέβες ἀνεστομοῦντο ῥηγνύμεναι καὶ ῥύακες αἱμάτων περιελίμναζον τὸν ἀθλητήν*, συλλειβόμενοι τοῦ σώματος πάντοθεν· ὅτι καὶ *πανταχοῦ τοῖς ξεσμοῖς διορώρυκτο. Ὁ δ᾽ ἔχαιρε μέγα, πιστεύων ὡς διασπώμενος τὰς σάρκας Χριστῷ συναρμόττεται* καὶ γυμνούμενος σαρκὸς τὸν Χριστὸν ἐνδύεται καὶ συνδοξάζεται Χριστῷ τοῖς ὑπὲρ Χριστοῦ βαπτιζόμενος αἵμασι καὶ ὡς τοσοῦτον εἰς τὸ κατὰ Χριστὸν ἀπέξεσται κάλλος ὅσον παραιρεῖται τῆς ὕλης τοῦ σώματος καὶ ὅσῳ τοῖς *κολαστηρίοις ὀργάνοις κατείργασται* τοσούτῳ περικαλλὴς ἐξείργασται καὶ ἴνδαλμα Χριστοῦ τετέλεσται, ἀγαλματοφοροῦν τὴν κατ᾽ εἰκόνα Χριστοῦ ὁμοιότητα.

10. Καὶ *Λεωνίδας μὲν ὁ γεννάδας οὕτω τιτανικῶς ὑπὸ τῶν ἀλιτηρίων ἐσπάρακτο καὶ οὕτω μεγαλοψύχως ἔφερε διασπώμενος*. Τί δὲ *αἱ περὶ τὴν κεχαριτωμένην Χάρισσαν μάρτυρες;* Ἆρα πρὸς τοὺς ἀγῶνας μαλακὸν ἔβλεψαν ἢ τὴν φύσιν αὐτῶν ὑπείδοντο ἢ τὰς βασάνους ὑπέτρεσαν ἢ τὴν ὠμότητα τῶν ἀσεβῶν ἐδειλίασαν; Οὐ μὰ τοὺς ὑπὲρ εὐσεβείας ἀνδρικοὺς ἀγῶνας ἐκείνων καὶ τὴν μέχρις αἵματος ἔντασιν· λήμματι γὰρ ἀνδρικῷ τὸν θῆλυν λογισμὸν ἀρρενώσασαι, οὕτω δὴ τοῖς κινδύνοις ὁμόσε χωροῦσι καὶ τὸν ἀθάνατον νυμφίον ἑαυτῶν ὁμολογοῦσιν ἀκαταπλήκτῳ φωνῇ. Τῷ γὰρ ἐκείνου ἔρωτι τοξευόμεναι, βέλη νηπίων τὰς πληγὰς τῶν ἀσεβῶν ἐλογίζοντο. 11. «Μὴ γὰρ νόμιζε, φασί, δικαστά, πρὸς γυναῖκας τρυφερὰς τὸν ἀγῶνα τοῦτον ἐνστήσασθαι· εἰ καὶ γυναῖκες ἡμεῖς τὸ φαινόμενον, γενναιότεραι δέ τῆς φύσεως πολλῷ καὶ τῆς στερροτέρας ὠμότητος. Ἡμεῖς τοῦ κάλλους ἑάλωμεν τοῦ Χριστοῦ καὶ τοῦ ἔρωτος ἐκείνου τὰς ψυχὰς ἀνηρτήσαμεν. Ἐκείνῳ ζῶμεν, ἐκείνῳ σύνεσμεν, Χριστῷ συναφθῆναι ποθοῦμεν ψυχαῖς ψιλαῖς οἰκειότερον. 12. Ἀπεστράμμεθα τὸ σῶμα τουτὶ καὶ τοῦ δεσμοῦ τὴν λύσιν ἐπείγομεν. Ὅθεν, εἰ βασανιεῖς, μᾶλλον λαμπρυνεῖς καὶ τῷ ἐραστῇ ποιήσεις ἐρασμιωτέρας τοῖς ὑπὲρ αὐτοῦ κοσμουμένας στίγμασιν. Εἰ κατὰ μέλος τέμῃς καὶ μέλος, οὐδ᾽ οὕτω Χριστοῦ διαστήσεις, ᾧ διὰ πίστεως συναπτόμεθα. Εἰ θᾶττον ἀνέλῃς, θᾶττον παραστήσεις τῷ ἐρωμένῳ. Ἔξελθε τοῦ βίου τὴν ταχίστην, ἀλάστορ, ἵνα θᾶττον τῶν οὐρανίων ἐπιβῶμεν θαλάμων».

13. Ἐξεπέπληκτο τὴν τῶν παρθένων παρρησίαν ὁ τύραννος καὶ τῆς τῶν γενναίων ἐνστάσεως ἡττηθείς, ἐπιτάττει τῷ τῆς *θαλάττης ἐπιρριφῆναι βυθῷ* καὶ κόλπῳ λήθης ἀφαντωθῆναι, ἵνα μὴ λαμπρὰ τῆς κατ᾽ ἐκείνου

www.tezaurliturgic.ro

νίκης φαίνοιντο τρόπαια. Ἤγοντο τοίνυν αἱ περὶ *τὸν θεῖον Λεωνίδαν* γενναῖαι μάρτυρες οὐ κατηφεῖς ἢ ἄλλως στυγνάζουσαι ὡς ἂν στελλόμεναι πρὸς τὸν θάνατον, χαίρουσαι δὲ μᾶλλον καὶ ᾄδουσαι, τοῦτο μὲν ὡς τῇ ἐνστάσει κρατήσασαι τοῦ δικάζοντος, τοῦτο δ᾽ ὡς ἀξιωθεῖσαι πιεῖν ἐν ἁλμυροῖς ὕδασι τὸ γλυκὺ τοῦ μαρτυρίου ποτήριον· τεκμήριον δὲ τὸ μέλος ἐκεῖνο ὅπερ τῆς μακαρίας Χαρίσσης ᾀδούσης ὁ λοιπὸς τῶν μαρτύρων χορὸς εὐρύθμως ὑπήκουεν. Ἔχει δὲ οὕτως· οὐδὲ γὰρ θέμις ὑπαλλαγῆναί τι παρῳδηθέν. «Ἓν μίλλιον ἔδραμον, Κύριε, καὶ στράτευμά με ἐδίωξε, Κύριε, καὶ οὐκ ἠρνησάμην σε· Κύριε, σῶσόν μου τὸ πνεῦμα». Ὑπὸ τοιούτῳ μέλει ὅσα ὀχήματι παραπέμποντες ἑαυτοὺς εὐθύμους οἱ ἅγιοι, ἥκουσιν ἐπὶ θάλατταν, κἀκεῖθεν ἀναχθέντες πλοίῳ ἐπιρριπτοῦνται τοῖς κύμασι καὶ οὕτω τὴν ἀθεΐαν ὡς ἄλλην Ἐρυθρὰν διαβεβηκότες εὐθὺ τῆς ἐπηγγελμένης γῆς διεπεραιώσαντο.

14. *Τοιοῦτος ὁ ἀμφὶ τὸν μέγαν Λεωνίδαν μαρτυρικὸς θίασος*· ἐφ᾽ ᾧ μᾶλλον *μέγα φρονείτω ἡ νῦν εὐσεβὴς* Ἑλλὰς ἤ περ ἡ πάλαι ἐπὶ τοῖς περὶ Λεωνίδαν τὸν Λάκωνα, ἀντισχοῦσι μὲν πρὸς τὰς τῶν Περσῶν δυνάμεις περὶ τὰ στενὰ τῶν Θερμοπυλῶν, πεσοῦσι δ᾽ ἐκεῖσε παρὰ τῶν βαρβάρων ὑπὲρ ἐλευθερίας Ἑλλήνων κοινῆς, ὡς καὶ τὰ ἐπιγεγραμμένα τῷ πολυανδρίῳ ἐκείνων ἐπιμαρτύρεται· «ὦ ξέν᾽, ἀπάγγειλον Λακεδαιμονίοις ὅτι τῇδε κείμεθα τοῖσιν ἐκείνων πειθόμενοι νόμοισιν», καὶ αὖθις·

«μυριάσι ποτὲ τῇδε διακοσίαις ἐμάχοντο
ἐκ Πελοποννήσου χιλιάδες τέτταρες».

Τί γὰρ οἱ περὶ τὸν Λεωνίδαν ἐκεῖνον ἐπεδείξαντο ὅσον ἡ περὶ τὸν ἡμέτερον ἀριστέα καλλίνικος στρατιά; 15. Ἐκεῖ γὰρ στρατιῶται δεινοὶ τὰ πολέμια, τοῖς στενοῖς ἐφεστῶτες καὶ τὴν πάροδον τοῖς βαρβάροις ἀπείργοντες, ὑπὸ τῶν τοξευμάτων κατεχώσθησαν, καὶ τοῖς πολεμίοις αἱ πύλαι διανεώγασιν. Ἐνταῦθα δὲ γυναῖκες εὐσεβεῖς, πέρα τῆς φύσεως ἀνδριζόμεναι, τὴν τῆς εὐσεβείας κατέλαβον ἄκραν, καὶ τὴν στενὴν τῆς ὁμολογίας πύλην εἰσιοῦσαί τε καὶ φυλάξασαι, οὐδ᾽ ἐπὶ βραχὺ τῆς ἐνστάσεως ἢ φυλακῆς τοῖς πολεμίοις παρακεχωρήκασι. Κἀκεῖνο μὲν ὁμοφυὲς τὸ πολέμιον· σάρκες γὰρ σαρξὶ συνεπλέκοντο· ἐνταῦθα δὲ λόγοις μὲν πρὸς τυράννους ἡ μάχη, ἔργοις δὲ πρὸς ἀσάρκους τε καὶ ἀναίμονας. Αἱ γὰρ περὶ τὸν κοσμοκράτορα συναποστατικαὶ δυνάμεις ταῖς μάρτυσιν ἐπεστράτευσαν συμμαχοῦσαι τοῖς τυράννοις καὶ παρὰ τῶν τυράννων αὐταὶ συμμαχούμεναι. Καὶ πολλοὶ μὲν οἱ πολεμοῦντες ἀπὸ ὕψους καὶ ἀοράτως βάλλοντες, πολλοὶ δὲ καὶ οἱ προδήλως ἐμπίπτοντες καὶ ποικίλαις μηχαναῖς τὴν συμβολὴν ἐξαρτύοντες, νῦν πειθὼ προσάγοντες, εἶτα βίαν, αὖθις θωπείαν, ἀπειλὴν μετὰ ταῦτα, μάστιγας ὕστερον, θάνατον ὕστατον. Πάντα μέν τοι κωφὰ καὶ οὐδὲν ἐνεργές. 16. Διὰ ταῦτα ἡττᾶται ὁ ἀσεβὴς ἡγεμὼν κατ᾽ ἐκεῖνον τὸν Φαραὼ καὶ τὰς γνώμας τῶν μαρτύρων οὐχ οἷός τε ὢν δουλώσασθαι, βυθῷ τὰ σώματα παραδίδωσιν, οἱ δὲ μάρτυρες, τὴν Αἴγυπτον τῆς ἀσεβείας καὶ τὸν ἄρχοντα ταύτης φεύγοντες, διὰ θαλάττης εἰς

www.tezaurliturgic.ro



τὴν ἄνω Ἱερουσαλὴμ διαπορεύονται, τῷ ἐνδόξως δεδοξασμένῳ Κυρίῳ τὸν ἐπινίκιον ᾄδοντες πολλῷ τοῦ ἰσραηλιτικοῦ εὐχαριστότερον· καθ᾽ ὅσον Ἰσραηλῖται μὲν πρὶν ἢ τὴν Ἐρυθρὰν διασχεῖν Θεοῦ καὶ Μωϋσέως κατεγόγγυζον καταπτήξαντες διὰ φιλοψυχίαν Αἰγυπτίους ἐπιδιώκοντας, οὗτοι δὲ παρὰ τῶν διωκτῶν τῷ βυθῷ προσριπτόμενοι ἐπεκρότουν μεγαλοψύχως καὶ κατωρχοῦντο θανάτου καὶ Θεὸν ἐπεκαλοῦντο οὐχ ἵνα τῶν κυμάτων ὑπέρσχωσιν, ἀλλ᾽ ἵνα θᾶττον πιόντες ἁλμυρὸν ὕδωρ τὸν ζωτικὸν καὶ γλυκὺν ὑπνώσωσι θάνατον.

17. Ὦ γενναίων ψυχῶν, ὦ φιλοθέων μαρτύρων καὶ διψώντων τὸν ὑπὲρ Χριστοῦ θάνατον· μόνον οὐκ ἔβαλλον εἰς τὴν θάλατταν ἑαυτούς, ἐντευξεῖσθαι τῷ Κυρίῳ οὕτω πιστεύσαντες. Ὅθεν καὶ εἰς αὐτὸν θερμότερον τοῦ Πέτρου διανήξασθαι σπεύδοντες, οὐκ ἠνείχοντο τὸν φυσικὸν ἐπενδύτην, τὸ σῶμα, ζώννυσθαι, ἀλλ᾽ ἀποδύσασθαι μᾶλλον τοῦτον ἐπόθουν καὶ γυμναῖς ψυχαῖς εὐζωνότερον στείλασθαι. Οὐ γὰρ ἐδίσταζον ὡς ὀλιγόπιστοι ὡς ἐξωσθέντες τοῦ πλοίου ἐπὶ τὰ ὕδατα διακινδυνεύσουσι καὶ οὐκ ἐλεύσονται πρὸς τὸν Ἰησοῦν, μεγάλῃ δὲ πίστει κουφιζόμενοι τὸν ἐπὶ τὸν Κύριον φέροντα διαπόντιον περίπατον βεβαίως διήνυσαν. Καὶ οὐ μόνον τοῦ πλοίου γενναίως ἐξέθορον ἐπὶ θάλασσαν, ἀλλὰ καὶ αὐτὰ τὰ τῶν σωμάτων ἐφόλκια χαίροντες ἐκβεβήκασι καὶ νῦν κατατρυφῶσι τῆς ἐκεῖσε μακαριότητος. Ἧς γένοιτο τυχεῖν καὶ ἡμᾶς ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.